αὐτὴν τὴν ψυχὴν θεωροῦντα, ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν q) ξυγγενῶν· καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον r), ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ· δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν· ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ s), ἐξ ἧς φέρετον τὼ ὁδὼ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. t) καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας, Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης, Αἰακός. Μίνῳ δὲ πρεσβεῖα δώσω, ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτον τῳ ἑτέρῳ v), ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ x) περὶ

80 τῆς πορείας τοῖς ἀνθρώποις. Ταῦτ' ἐστὶν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς, πιστεύω a) ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε b) λογίζομαι ξυμβαίνειν.

q) Articulus τῶν, vt et ſtatim τῆς, deſideratur apud Theodoretum.

r) Cod. vterque cum Baſ. 2. καὶ καταλιπόντα. Ficinus: *omnemque ornatum exteriorem relinquentem in terra.* Serranus etiam particulam καὶ expreſſit.

s) Cod. Meerm. τριώδῳ.

t) Cod. vterque ἡ δὲ εἰς τὸν τάρταρον.

v) Haec eſt vera lectio loci, quam Codici Meerm. debeo, quamque praeferendam duxi vulgatae ἐὰν ᾖ ἀπόῤῥητόν τι τῷ ἑτέρῳ, in omnibus editis libris, etiam in Aug. Codice, extanti, ita tamen, vt in hoc ᾖ et τι deeſſent, et inde coniici poſſit, a librario ἀπορῆτον in ἀπόῤῥητον deprauatum eſſe.

x) Cod. Meerm. ᾖ ἡ κρίσις.

a) Verba Ταῦτ' ἐστὶν -- ἀληθῆ εἶναι ſunt apud Theodoret. Θ. Ε. Π. p. 13. vbi ταῦτα legitur ſine apoſtropho.

b) Cod. Meerm. τοιόνδέ τι. Serranus: *huiusmodi quidpiam.*